ΧΟΡΟΣ

καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.

ΑΤΟΣΣΑ

καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;

ΧΟΡΟΣ

ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.

ΑΤΟΣΣΑ

πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει;

ΧΟΡΟΣ

οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σάγαι.

ΑΤΟΣΣΑ

τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ;

ΧΟΡΟΣ

οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ᾽ ὑπήκοοι.

ΑΤΟΣΣΑ

πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;

ΧΟΡΟΣ

ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

ΑΤΟΣΣΑ

δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

ΧΟΡΟΣ

ἀλλ᾽ ἐμοὶ δοκεῖν τάχ᾽ εἴσει πάντα ναμερτῆ λόγον·
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

239. διὰ χερός σφιν ἐμπρέπει

---

αἱ Ἀθῆναι. 236. ἔρξας πολλά: τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. 238. ἀργύρου] τὰ ἐν τῇ Ἀττικῇ. ἀργύρου πηγή: ἐν Θορικῷ γάρ ἐστι μέταλλα καὶ ἐν Λαυρίῳ. 239. τοξουλκός] τοξικὴ βολή. 240. ἔγχη σταδαῖα: ἐκ τοῦ συστάδην μαχόμενα, οἷον συστάδην μάχονται. τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον. 243. πῶς ἂν οὖν] μὴ ἔχοντες τὸν ἐφεστηκότα. 245. τοῖς τεκοῦσι] ἀντὶ τοῦ ἡμῖν. 246. ἀλλ᾽ ἐμοί] κατὰ τὴν ἐμὴν δόκησιν μαθήσῃ τἀληθῆ. 248. κλύειν] λείπει ὥστε.